UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Ammoni. 82.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

γίνεται, καὶ χρηστῷ πάθει καὶ φιλανθρώπῳ. οὐδὲν δὲ οὕτως χρηστὸν πάθος ἀποκαλεῖ ὡς ἔλεος. καὶ Φίλων δὲ, ἄνθρωπος Πλάτωνος, ἢ ὁμιλητὴς, ἢ ὑφηγητής τις εἶναι δόξας, διὰ τὸ τῆς φράσεως ὕψος· ἐῤῥέθη γὰρ παρ' ἑαυτῶν, ἢ Πλάτων ἐφιλώνισεν, ἢ Φίλων ἐπλατώνισεν· ἐγκωμιάσας μὲν τὸν Μωσέα, ὡς μισοπόνηρον ἔφη· περιπαθήσας δὲ καὶ δικαίας ὀργῆς ἐμπλησθεὶς, διαβάλλει τινὰς αἰγυπτίους, τοὺς ἐργοδιώκτας φημὶ τοῦ Φαραώ· πάσχει γάρ τι ἡ ψυχὴ, καὶ ἢ εἰς ἔλεον, ἢ εἰς εὐμένειαν, ἢ εἰς χρηστότητα, ἢ εἰς μισοπονηρίαν νεύει. εἰ μὴ γὰρ ἐπικλασθείη τις, οὐκ ἂν τὸν ἱκέτην ἐλεήσειεν, εἰ μὴ ἐπικαμφθείη, οὐκ ἂν τὸν δεόμενον οἰκτειρήσειεν, εἰ μὴ πάθοι τι. οὐκ ἂν τὸν ἐχθρὸν εὐεργετήσειεν, εἰ μὴ νομίσει ἠδικεῖσθαι τὴν δικαιοσύνην, οὐκ ἂν εἰς μισοπονηρίαν τραπείη. τὴν δὲ τροπὴν ταύτην καὶ πάθος καλοῦσιν. ὥσπερ γὰρ ὁ ἀπὸ τοῦ βελτίονος ἐπὶ τὸ χεῖρον τρεπόμενος πάσχει, οὕτω καὶ ὁ ἀπὸ τῶν χειρόνων ἐπὶ τὸ ἄμεινον τρεπόμενος πάσχει τι. τροπῆς γάρ ἐστι τὸ πάθος ὄνομα. τοιγαροῦν καὶ αὐτὸς, κἂν ὀψέποτε τῆς ἡλικίας τὰ αἰσχρὰ φεῦγε πάθη, ἵνα μήποτε ἐπαινέσῃς τὴν παραίνεσιν, ὅτε τῶν ἐπαίνων σοι ὄφελος οὐδέν.

Αμμωνι. πβ.

Ὅτι ὁ τῆς μακαρίας μνήμης Τιμόθεος, τοῦ ἀτιθάσου θηρὸς ἐτιθάσευε τὰς ὁρμὰς, καὶ τὸ ἀμείλικτον εἰς τὸ ἐμμελὲς μετεῤῥύθμιζεν, ἡ μετὰ τὴν ἐκείνου τελευτὴν ἐπικωμάσασα τῷ ἀλιτηρίῳ Εὐσεβίῳ μανία, σαφῶς ἔδειξεν.

Εὐτονίῳ διακόνῳ. πγ.

Εἰ τὸ κάλλος τοῦ σώματος οὐδ' ὑπὸ τῶν ἐκπλήξεων ἀλλοιοῦται· σώζει δ'

omnis interclusus est. Nullus porrò tam bonus affectus perierat, quàm misericordia. Quin Philo quoque, qui ob sublime & excelsum dicẽdi genus, Platonis vel diſcipulus, vel magiſter eſſe viſus eſt (de iis enim dictum eſt, Aut Plato Philonizauit, aut Philo Platonizauit) Moſen, vt improborum odio flagrantem, laudibus proſecutus, his verbis vſus eſt: Ingenti autem dolore affectus, ac iuſta iracundia perfuſus, Ægyptios quoſdam, hoc eſt eos, qui vrgendis operibus à Pharaone præfecti fuerant, criminatur. Afficitur enim quodammmodo anima, atque aut ad miſericordiam, aut ad placabilitatem, aut ad benignitatẽ, aut ad improbitatis odiũ propendet. Niſi enim frangeretur quiſpiã, ſupplicib9 cuiuſpiam precibus minimè commoueretur. Niſi inflecteretur, rogantem haudquam miſeraretur. Niſi aliquo affectu tangeretur, beneficium in hoſtem minimè conferret. Niſi iuſtitiam læſam eſſe exiſtimaret, in improborum odiũ minimè conuerteretur. Hanc porrò cõuerſionem, affectum etiam appellans. Vt enim qui à virtute in vitium ſeſe conuertit, afficitur: ita rurſum qui à vitio ad virtutem ſeſe conuertit, nonnihil afficitur. Affectus enim vocabulum, conuerſionis eſt. Quamobrem tu quoque in hac ſenili ætate turpes affectus tandem aliquando fuge, ne alioqui conſilium meum tum denique laudes, cùm tibi huiuſmodi laudes nihil vtilitatis allaturæ ſunt.

*Ammoni.* 82.

Quod Timotheus (cuius fauſtum fœlixque ſit meminiſſe) agreſtis & indomitæ belluæ impetus cicurabat, eiúſque ſæuitiã & immanitatem in concinnitatem quandam & ſuauitatem commutabat, furor ille, qui poſt illius è vita diſceſſum, peſtiferum & execrandum Euſebium inuaſit, perſpicuè demonſtrauit.

*Eutonio Diacono.* 83.

Si corporis pulchritudo nec ob ſtupores immutatur, verùm etiam inter lachrymas